49.

Ἐκ τῆς τοιαύτης τῶν νεύρων συγκινήσεως προέρχεται ἴσως καὶ ἡ τῶν ἰδεῶν μετά τινων σημείων σύζευξις. Ἐὰν γὰρ καὶ βλέπων τὸ ὕδωρ ἐν ταὐτῷ, καὶ ἀκούων τῆς λέξεως ὕδωρ, τοὐτέστιν ἐὰν, τοῦ ὀπτικοῦ μου νεύρου ὑπὸ τῆς τοῦ ὕδατος παρουσίας κινουμένου, καὶ τὴν ἰδέαν αὐτοῦ ἐν ἐμοὶ διεγείροντος, καὶ ἡ φωνὴ ὕδωρ, εἰς τὴν ἀκοήν μου προσπίπτουσα, συνδιεγείρῃ τὴν προσοχήν μου, δῆλον ὅτι, μετὰ ταῦτα, θατέρου νεύρου κινηθέντος, εἴτε θατέρου αἰσθήματος ἐν ἐμοὶ διεγερθέντος, καὶ τὸ ἕτερον συνδιεγείρεται. Ὅθεν ἀκούων τῆς λέξεως ὕδωρ, καὶ τῆς ἰδέας αὐτοῦ ἀντιλήψομαι.

Καὶ ἐντεῦθεν ἄρχεται ἴσως ὁποιαδήποτε σημειωτικὴ, εἴτε ὁποιαδήποτε γνῶσις, τὰς ἰδέας, ἢ τὰς ἐννοίας διά τινων σημείων ὑποσημαίνουσα.

50.

Καὶ τὰ συμπαθείας δὲ λεγόμενα αἰσθήματα ἐκ τῆς αὐτῆς τῶν νεύρων συγκινήσεως λαμβάνει τὴν ἀρχήν. Ἐὰν γὰρ καὶ τὸ ὀπτικὸν ἐν ταὐτῷ καὶ τὸ γευστικὸν ἰσχυρῶς διερεθισθῇ νεῦρον, τοῦ πρώτου μετὰ ταῦτα κινηθέντος, καὶ τὸ δεύτερον συγκινηθήσεται, καὶ τὸ τῆς γεύσεως αἴσθημα συγχρόνως διεγερθήσεται.

51.

Ἐκ τῶν μέχρι τοῦδε ῥηθέντων μανθάνομεν ὅτι, ὅταν μὲν ἁπλῶς προσβολή τις ἐπὶ τῶν αἰσθητικῶν ἡμῶν νεύρων γένηται, τότε ἀτελῶς πως αἰσθανό-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

μεθα, εἴτε διάθεσιν μόνον τοῦ αἰσθάνεσθαι λαμβάνομεν· ὅταν δὲ ἰσχυρῶς ἡ τοιαύτη προσπέσῃ προσβολὴ, τότε ἰσχυρῶς αἰσθανόμενοι, ἢ προσέχοντες, τῆς ἰδέας, ἢ ἐννοίας ἀντιλαμβανόμεθα τοῦ προσβάλλοντος.

Ἐὰν δὲ πάλιν δύο, ἢ πολλαὶ προσβολαὶ, ἀναφοράν τινα πρὸς ἀλλήλας ἔχουσαι, τὰ αἰσθητήρια συγκινήσωσιν ὄργανα, τότε, ἑνός τινος ὀργάνου ὡσαύτως διερεθισθέντος, καὶ τῶν διὰ τῶν λοιπῶν προσγεγονότων ἡμῖν αἰσθημάτων ἀναμιμνησκόμενοι ἀντιληψόμεθα. Ὥστε καὶ ὁποιαδήποτε ἀνάμνησις ἐκ τῆς τῶν προσβολῶν, ἢ αἰσθημάτων συζεύξεως τὴν πρωτίστην λαμβάνει ἀρχήν.

52.

Ὅταν δὲ δύο διακεκριμένων αἰσθημάτων διὰ τοῦ αὐτοῦ ἀντιλαμβανώμεθα αἰσθητηρίου, ἢ διά τινος ἀναμιμνησκώμεθα ἀναμνήσεως, τότε συγκρίνειν μὲν τὰ πρῶτα, διασκέπτεσθαι δὲ περὶ τῶν δευτέρων ἀρχόμεθα. Ὅταν δὲ καὶ τὴν μεταξὺ αὐτῶν γινώσκωμεν ταυτότητα, ἢ διαφορὰν, τότε κρίνειν, ἢ ἀποφαίνεσθαι περὶ αὐτῶν δυνάμεθα. Ἐὰν δὲ καὶ τοῖς ἐν ἡμῖν αὐτοῖς συμβαίνουσι προσέχωμεν, τότε καὶ ἀναμιμνησκομένοις, καὶ διασκεπτομένοις, καὶ παντοίως τὰ ὄντα θεωροῦσι, καὶ τοὺς λόγους αὐτῶν ἐκζητοῦσι συνειδέναι ἑαυτοῖς ἔχομεν.

Καὶ διὰ μὲν τῆς αἰσθήσεως περὶ τῆς ἐφ' ἡμῶν ἐνεργείας τῶν αἰσθητῶν βεβαιούμεθα· διὰ δὲ τῆς συνειδήσεως ἀνενδοίαστον τῶν ἐν ἡμῖν αὐτοῖς συμ-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

βαινόντων γνῶσιν λαμβάνομεν· καὶ διὰ της ἐποπτείας, τὰ πάντῃ τῆς ὕλης ἐξῃρημένα θεωρεῖν ἐπιχειροῦμεν.

53.

Ἐκ τούτων δῆλον γίνεται, πῶς ἡ τῶν γνωστικῶν τῆς ψυχῆς δυνάμεων ἀνάπτυξις τὴν πρώτην λαμβάνει ἀφορμὴν, ὧν ἡ μερικωτέρα θεωρία τῆς Ψυχολογίας καὶ τῆς κυρίως Λογικῆς ἐστὶν ὑπόθεσις.

54.

Ἀλλ' ἐπειδὴ καὶ ὁποιαδήποτε προσβολὴ, ἢ μετρίως καὶ οἷον εὐαρέστως ἐπὶ τῶν νεύρων ἐκτελεῖται· ἢ βιαίως πως καὶ οἷον δυσαρέστως ἐπ' αὐτῶν ἐπενεργεῖ, ἕπεται ὅτι, αἰσθήματος τινὸς ἐν τῷ ἀνθρώπῳ διεγερθέντος, καὶ ἡδονή τις, ἢ ἄλγος αὐτῷ προσγίνεται.

Καὶ κατὰ μὲν τὴν πρώτην, τὰ πέρατα τῶν νεύρων, καὶ αὐτὰ τὰ νεῦρα, ὡς φαίνεται, ἐπεκτεινόμενα, μείζονα καταλαμβάνει τόπον, τὰ αἰσθανόμενα σημεῖα, οὕτως εἰπεῖν, πολλαπλασιάζοντα· κατὰ δὲ τὸ δεύτερον, ἐκ τοῦ ἐναντίου, ἐλάσσονα κατέχει, συστελλόμενα, τὴν ἐπιφάνειαν, δι' ἧς τὸ αἴσθημα διαδίδοται, ἐλάσσονα ποιοῦντα· ἀφ' ὧν καὶ ἡ συναισθητικὴ τῆς ψυχῆς δύναμις ἀναπτύσσεσθαι ἄρχεται.

55.

Ὁποιαςδήποτε δὲ ἡδονῆς ἐμποιηθείσης, ἢ ὁποιουδήποτε ἄλγους προσγεγονότος, καὶ χρεία τις συνδιεγείρεται τοῦ διατηρεῖν μὲν τὴν πρώτην, ἀπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΤΙΚΟΝΙΑΝΤΙΣΜΟΥ ΑΛΕΞΑΝΔΡΟΣ Θ. ΠΑΠΑΣΟΥΛΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ.ΚΑΘΗΓΗΤΗΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

φεύγειν δὲ τὸ δεύτερον· ὅθεν καὶ τοῦ εἰς διατήρησιν μὲν τῆς πρώτης, ἀποφυγὴν δὲ τοῦ δευτέρου συντείνοντος μέσου γνωστοῦ ὄντος, καὶ ὄρεξίς τις, ἢ ἔφεσις τούτου ἡμῖν προσγίνεται. Οὕτω δὲ καὶ ἡ τῆς βουλήσεως, ἢ τοῦ βουλητικοῦ ἀνάπτυξις τὴν πρώτην λαμβάνει ἀφορμὴν, ἡ τῆς δυνάμεως δηλαδὴ ἐκείνης, ἥτις διὰ τῶν τῆς κινήσεως νεύρων, τὰς προαιρετικὰς λεγομένας ἐκτελεῖ ἐνεργείας, καὶ τὴν ψυχὴν αὐτοκίνητον καὶ οἴκοθεν ἐνεργοῦσαν δείκνυσιν.

Ὅτι δὲ αἱ τοιαῦται ἐνέργειαι εἰς τὰ ἐσωτερικὰ τῶν τῆς κινήσεως νεύρων πέρατα διαδοθεῖσαι, δι' αὐτῶν εἰς τὰ ἀνάλογα τοῦ σώματος μέρη μεταδίδονται, ἐκ διαφόρων παρατηρήσεων δῆλον γίνεται· νεύρου γάρ τινος βλαφθέντος, καὶ τὸ εἰς αὐτὸ προσιδιάζον μέλος τοῦ σώματος ἀκίνητον καθίσταται.

56.

Τοιαύτη τις ἐστὶ τοῦ αἰσθητικοῦ καὶ βουλητικοῦ ἡ πρώτη ἀνάπτυξις· τοιαύτη δέ τις καὶ ἡ τῶν λοιπῶν ὑπάρχει δυνάμεων. Καὶ γὰρ αἰσθήματος τινὸς λίαν εὐαρέστου, ἢ ὀδυνηροῦ, ἢ λίαν θαυμασίου καὶ ἐκπληκτικοῦ προσγεγονότος, ἀντιλαμβάνεσθαι τοῦ προσβάλλοντος, καὶ ἐν ἀπουσίᾳ αὐτοῦ, ὁ ἄνθρωπος ἄρχεται, καὶ φαντάζεσθαι αὐτὸ, καὶ ἐννοεῖν τὰ περὶ αὐτοῦ, καὶ διασκέπτεσθαι, καὶ λόγον οὐ μόνον αὐτοῦ, ἀλλὰ καὶ πάντων τῶν οὕτως αὐτὸν διατιθέντων ἐκζητεῖν, καὶ τὸν ἔσχατον πάντων ἀνερευνᾷν ἀποχρῶντα λό-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

γον, καὶ τὰς μετ' αὐτοῦ σχέσεις, καὶ τὸ τέλος, δι' ὃ ὑπάρχει, καὶ τὰ μέσα, δι' ὧν αὐτοῦ ἐπιτυχεῖν δύναται, διασκοπεῖν, καὶ τέλος πείθεσθαι, ὅτι οὐδεὶς αὐτὸν κυρίως ἄνθρωπον διαπλάσαι, οὐδὲ διαμορφῶσαι, οὐδὲ τὰς ἐπ' ἄπειρον τεινούσας αὐτοῦ δυνάμεις ἀναπτύξαι δύναται, εἰ μὴ μόνος ὁ τὰς δυνάμεις ταύτας χαρισάμενος, καὶ τὴν ὕπαρξιν καὶ τὴν διάρκειαν καὶ τὴν διακόσμησιν, πᾶσι τοῖς οὖσι, καὶ τοῖς Αὐτῷ ἐλευθέρως καὶ νοῦν καὶ καρδίαν ἀφοσιώσασι δωρούμενος.

57.

Τῶν τῆς ψυχῆς ἐνεργειῶν, αἱ μὲν οἷον ἀκούσης αὐτῆς ἐκτελοῦνται· αἱ δὲ, ὅλως ἑκούσης διεκπεραίνονται. Καὶ αἱ μὲν πρῶται εἰσὶν αἱ ἀνεξαρτήτως τῆς βουλήσεως ἐνεργούμεναι· αἱ δὲ δεύτεραι, αἱ ἀπὸ μόνης τῆς βουλήσεως προερχόμεναι.

Διὰ τῶν τοιούτων οὖν καὶ δυνάμεων καὶ ἐνεργειῶν ἐντυπώσεις τινὰς κατ' ἀρχὰς, οἷον μηχανικὰς, ὁ ἄνθρωπος διὰ τῶν νεύρων δεχόμενος, μετά τινων αὐτὰς συζεύγνυσι σημείων· ταῦτα δὲ πάλιν συνδέων, ἄλλας τινὰς προαιρετικὰς παράγει ἐνεργείας, ἢ διαλεγόμενος, ἢ ἕτερόν τι πράττων.

Εἰ καὶ αἱ τῆς ψυχῆς ἐνέργειαι, ὡς καὶ αἱ τοῦ σώματος, τὸ πρῶτον ἀτελέσταται εἰσίν· ἀλλ' οὖν, διὰ τῆς τῶν ἑκτικῶν δυνάμεων ἀναπτύξεως, εἰς τοσοῦτον ἀφικνοῦνται τελειότητος, ὥστε πολλάκις, καὶ μηδόλως τῆς ψυχῆς προσεχούσης, μηδὲ συνειδυίας, θαυμασίως ἀποπερατοῦσθαι.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

58.

Ἀλλὰ ποῖα τινὰ ἐστὶ τὰ οἷον πρῶτα καὶ ἁπλᾶ τῶν ἀνθρωπίνων γνώσεων στοιχεῖα, ἃ διὰ τῶν ἑαυτοῦ δυνάμεων καὶ ἐνεργεῖν καὶ λαμβάνειν ὁ ἄνθρωπος πέφυκε;

Αον. Αἱ διὰ τῶν λεγομένων ἐξωτερικῶν αἰσθήσεων κατὰ πρώτην προσβολὴν προσλαμβανόμεναι ἰδέαι, ἢ ἔννοιαι· οἷον ἡ τοῦ ψυχροῦ, θερμοῦ, σκληροῦ, μαλακοῦ, λείου, τραχέος· αἱ τῶν διαφόρων ὀσμῶν, χυμῶν, χρωμάτων, ἤχων.

Βον. Αἱ διὰ τῶν ἐσωτερικῶν λεγομένων αἰσθήσεων ἐμποιούμεναι· οἷον αἱ τῆς πείνης, δίψης, κ.τ.λ.

Γον. Αἱ τοῦ αἰσθάνεσθαι, ἀντιλαμβάνεσθαι, διανοεῖσθαι, βούλεσθαι, κ. τ. λ. εἴτε αἱ τοῦ ἀκουσίως, ἢ ἑκουσίως ἐνεργεῖν. Διὰ γὰρ τῶν ἁπλῶν τούτων ἐννοιῶν, καὶ αἱ σύνθετοι τοῦ ἀνθρώπου διαμορφοῦνται ἰδέαι. Ἐκ γὰρ τῆς ἀντενεργείας τῶν περὶ αὐτὸν ὄντων, καὶ τῆς πρὸς ἀνάπτυξιν τῶν ἑαυτοῦ δυνάμεων ἀπαραιτήτου αὐτῶν συνεργείας, καὶ τῆς ἐπὶ τῆς ὑπάρξεως, ἢ ἀνυπαρξίας αὐτῶν παντελοῦς αὐτοῦ ἀνενεργησίας, τὴν ἰδέαν λαμβάνει τῆς ἀντενεργούσης σωματικῆς οὐσίας, καὶ πάντων τῶν παρ' αὐτὸν ὄντων. Τὰς δὲ ἐν αὑτῷ ὑπὸ τούτων διεγειρομένας προσβολὰς ἐπ' αὐτὰ ταῦτα ἀναφέρων καὶ συντιθεὶς, τὰς ἀτομικὰς καλουμένας σχηματίζει ἰδέας· ἀφῃρημένως δὲ αὐτὰς θεωρῶν, καὶ τὰς ἀφῃρημένας παράγει, τὰ εἴδη δηλαδὴ, τὰ γένη, κ. τ. λ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΥΘΥΓΗΣ: ΑΝΑΚΑΘΗΓΗΤΗΣ ΚΩΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

59.

Ωσαύτως φιλῶν μὲν τὰ εὐάρεστα συναισθήματα, μισῶν δὲ τὰ δυσάρεστα· ὑπονοῶν, ὅτι ἔσεται ἡ τοιάδε εὐαρέστησις, εἴτε ἐλπίζων· ὑπονοῶν, ὅτι ἔσεται ἡ τοιάδε δυσαρέστησις, εἴτε φοβούμενος, τὰς ἐννοίας τῶν διαφόρων αὐτοῦ λαμβάνει παθήσεων, τῆς φιλίας δηλαδὴ, τοῦ μίσους, τῆς ἐλπίδος, τοῦ φόβου, κ. τ. λ.

60.

Τὰς ἑαυτοῦ δὲ ἰδέας ἢ ἐννοίας μετά τινων σημείων, λέξεων δηλαδὴ, ἢ ἄλλων σημαντικῶν πραγμάτων, προσοικειῶν, καὶ ταῦτα πάλιν κατὰ λόγον ἐπισυνάπτων, καὶ τὰς τῶν ἄλλων μανθάνει ἰδέας, καὶ μετὰ τῶν ὁμοίων αὐτῷ, παρόντων ὄντων, συγκοινωνεῖ. Τὰ σημεῖα δὲ πάλιν ταῦτα ἑτέροις τισὶ σημείοις, ἢ γράμμασιν ἐν γένει συνδέων, καὶ μετὰ τῶν ἀπόντων, καὶ μετὰ τῶν προγεγονότων συνδιαλέγεται, τὰς αὐτῶν δηλαδὴ μανθάνει ἰδέας καὶ ἐννοίας.

Οὕτω δὲ διὰ τῆς πείρας, διὰ τῆς παρατηρήσεως, διὰ τῆς γλώσσης, διὰ τῆς ἕξεως, καὶ ἐν γένει διὰ τῆς ὀρθῆς τῶν γνωστικῶν αὐτοῦ δυνάμεων χρήσεως, τὰς διαφόρους αὐτοῦ τελειοποιεῖ γνώσεις.

61.

Ἀλλὰ πῶς κυρίως ὁ ἄνθρωπος τὴν περὶ τὰς γνώσεις αὐτοῦ ἀλήθειαν ἐπιβεβαιοῦν δύναται;

Ἀλήθεια περὶ ὄν τι, καθ' ἑαυτὸ θεωρούμενον,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ἐστὶ, τὸ εἶναι ὅπερ κυρίως ἐστὶν, ἢ τὸ, ὧν ἔχειν πέφυκε προσόντων εὐμοιρεῖν· ὡς δὲ πρὸς τὸ γινῶσκον ἀναφερομένη, ἀλήθεια παράστασίς τις ἐστὶν ἐν αὐτῷ τοῦ ὄντος, ὡς κυρίως ἐστίν· ἢ συμφωνία τῆς ἐν τῷ γινώσκοντι ἐννοίας, καὶ τοῦ γινωσκομένου πράγματος.

Βεβαιότης δὲ ἡ περὶ ἀληθείας λέγεται, ἡ ἀνενδοίαστος πεποίθησις, ἣν ἔχει τὸ γινῶσκον περὶ τῆς συμφωνίας τῆς τε ἐν αὐτῷ ἐννοίας καὶ τοῦ ὑπ' αὐτῆς παρισταμένου πράγματος. Βεβαιοῖ δὲ τὴν περὶ τὰ ὄντα ἀλήθειαν, ἢ δι' αὐτογνώστων καὶ τῶν ἐξ αὐτῶν προερχομένων γνώσεων, ἢ διὰ τῆς ταυτότητος, ἢ καὶ διὰ τῆς ἀντιφάσεως.

62.

Ἐπειδὴ δὲ καὶ πᾶσα ἀλήθεια, ὡς πρὸς τὰ γινωσκόμενα ἀναφερομένη, περὶ τὴν φύσιν αὐτῶν καὶ τὰς σχέσεις καὶ τὰ αἴτια τῶν περὶ αὐτὰ συμβαινόντων θεωρεῖται· πᾶσα δὲ ἀλήθεια, καὶ μάλιστα ἡ τὰ αἴτια ταῦτα ἐκτιθεῖσα, Λόγος κυρίως καὶ ἔστι καὶ λέγεται· καὶ ἀποχρῶν, ὅταν πάντα τὰ περὶ αὐτῆς περιέχῃ ἀληθῶς πείθοντα· Λογικὸν δὲ κυρίως ἐστὶν ἡ τοῦ ἀποχρῶντος λόγου ἐξερευνητικὴ καὶ εὑρετικὴ τοῦ ἀνθρώπου δύναμις, δῆλον ὅτι ὁ μὲν ἀποχρῶν λόγος, οἷον φῶς ἐστὶ, δι' οὗ τὴν περὶ τὰ ὄντα καὶ βλέπει καὶ δείκνυσι καὶ ἐπιβεβαιοῖ ἀλήθειαν· τὸ δὲ Λογικὸν, ἢ καὶ Λόγος, ὡς ἄλλη τῆς ψυχῆς ὅρασις, δι' ἧς αὐτῆς ἀντιλαμβάνεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΟΣΘΥΝΗΣ: ΑΝΑΘΗΡΕΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

63.

Ἐκ τούτων δῆλον γίνεται, ὅτι αἱ περὶ τὰ γινωσκόμενα τοῦ ἀνθρώπου γνώσεις, ὡς πρὸς τὸν λόγον ἀναφερόμεναι, αἱ μὲν ἱστορικαὶ τὴν κατὰ λόγον ἔκθεσιν τῶν γεγονότων, καὶ τῶν ἐν τῇ φύσει γινομένων σκοπὸν ἔχουσιν· αἱ δὲ τεχνικαὶ, τὴν πρὸς ἐπίτευξιν προκειμένου τινὸς κατὰ λόγον τῶν πραγμάτων εἰδοποίησιν· καὶ τέλος αἱ ἐπιστημονικαὶ τῆς μετὰ λόγου καὶ ζητήσεως καὶ εὑρέσεως τῆς περὶ τὰ ὄντα ἀληθείας στοχάζονται (14, 33)· περὶ ὧν ἐν τοῖς ἐφεξῆς μερικώτερον διαληψόμεθα.

64.

Ἀλλ' ὅταν αἱ τοῦ ἀνθρώπου γνώσεις εἰς τὰ κτίσματα μόνον ἀσχέτως, ὡς πρὸς τὸν ἀπειροτέλειον αὐτῶν Δημιουργὸν, τὸν ταῦτα, καὶ τὰς ψυχικὰς δυνάμεις, καὶ πᾶν ὅ,τι ἀγαθὸν καθ' ἑκάστην τῷ ἀνθρώπῳ δωρούμενον, ἀναφέρωνται, καὶ ἐν αὐτοῖς μόνοις ἀπολήγωσι, τότε ἀνοίκειοι ὅλως αὐτῷ εἰσὶ, καὶ τὸ πολὺ οὐδὲν ἄλλο, εἰμὴ ζῶον ὁπωσοῦν κομψὸν, καὶ περὶ τὴν ὕλην φαινόμενον φρόνιμον, καὶ ἡμισυναγελαστικὸν, ἢ θηρίον κόσμιον καὶ ὑπουλότατον αὐτὸν, ὡς ἡ καθημερινὴ ἐπιβεβαιοῖ παρατήρησις, ἀπεργάζονται.

65.

Ὅταν δὲ σχετικῶς ὡς πρὸς τὸν Κτίστην θεωρῶνται, καὶ εἰς τὰς ἐξ ἀποκαλύψεως τὸν ἄνθρωπον παρεισάγωσι, καὶ εἰς τὸ καὶ νοῦν καὶ καρδίαν Αὐτῷ ἀφοσιώσασθαι, καὶ τὴν ἀρετὴν ἐξασκεῖν,

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

καὶ τὸ ἀγαθὸν πράττειν πρὸς δόξαν Αὐτοῦ διεγείρωσιν, Αὐτῷ μονῳ λατρεύοντα, τότε καὶ τῷ ἀνθρώπῳ καὶ παντὶ θεοσεβικῷ ὄντι κυρίως ἁρμόζουσι.

Παρὰ μόνῳ γὰρ τῷ ἀπειροτελείῳ τῶν ὄντων Θεῷ, ὡς τὸ εἶναι, οὕτω καὶ τὸ εὖ εἶναι ἀληθῶς εὑρίσκει, καὶ παρ' Αὐτῷ μόνῳ καὶ θεοδίδακτος, καὶ θεόπνευστος, καὶ κυρίως κοινωνικὸς, καὶ ἀληθῶς ἄνθρωπος καὶ τέκνον θεῖον γενέσθαι δύναται, ὑπ' Αὐτοῦ καὶ διαμορφούμενος καὶ διαπλαττόμενος, (33). Ὅθεν καὶ περὶ τῶν γνώσεων τούτων ὡσαύτως μετὰ τὰ περὶ ἐκείνων, ὀλίγα μόνον ῥηθήσεται.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΜΟΝΙΔΟΥ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008